www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ

# ΠΕΛΑΓΙΑΣ

ΤΗΣ ΕΝ ΤΗ ΙΕΡΑ ΜΟΝΗ
ΚΕΧΡΟΒΟΥΝΙΟΥ ΤΗΣ ΝΗΣΟΥ ΤΗΝΟΥ
ΑΣΚΗΤΙΚΩΣ ΔΙΑΛΑΜΨΑΣΗΣ

ΕΠΟΙΗΘΗ ΕΝ ΑΓΙΩ ΟΡΕΙ
ΥΠΟ
ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ

ΑΘΗΝΑΙ 1980

www.tezaurliturgic.ro

# ΜΝΗΜΗ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΠΕΛΑΓΙΑΣ, ΤΗΣ ΕΝ ΤΗ ΙΕΡΑ ΜΟΝΗ ΚΕΧΡΟΒΟΥΝΙΟΥ ΤΗΣ ΝΗΣΟΥ ΤΗΝΟΥ ΑΣΚΗΤΙΚΩΣ ΔΙΑΛΑΜΨΑΣΗΣ.

ΙΟΥΛΙΟΥ ΚΓ΄

## ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ.

**Μετὰ τὸν προοιμιακόν, τὸ Μακάριος Ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ΣΤ΄ καὶ ψάλλομεν τὰ ἑξῆς προσόμοια.**

**Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος**

Ὢ τοῦ παραδόξου θαύματος, ἡ Παρθένος Ἁγνή, ἐπαλλήλοις ὄψεσιν, ὁράσει δὲ μυστικῇ, δι᾽ ἀγαθότητα, Ὁσίᾳ τῇ θαυμαστῇ, δι᾽ ἀρετῆς Πελαγία τεθέαται, καὶ ταύτης τὴν ὑπὸ γῆν, κεκαλυμμένην Εἰκόνα ἐδήλωσεν, ἧς τῇ θείᾳ ἀνευρέσει, χάριν πολλὴν εὕρομεν, καὶ θαυμάτων δυνάμεις, ἐξ αὐτῆς ἀεὶ καρπούμεθα.

Βαβαὶ τῆς σῆς εὐδοκίας Ἁγνή! Σὺ γὰρ τὴν Ὁσίαν, Πελαγίαν Δέσποινα, τῷ βίῳ ἀγγελικῷ, σεμνῶς ἐκλάμπουσαν, μεσίτιν τὴν πρὸς ἡμᾶς, καὶ προμηθείας καὶ θείας εὐνοίας σου, ἀνέδειξας ἐμφανῶς, τὴν σὴν Εἰκόνα αὐτῇ φανερώσασα. Ὅθεν ταῖς αὐτῆς πρεσβείαις, σκέπε καὶ διάσῳζε, τὴν παροῦσαν Μονήν σου, ἀπὸ πάσης περιστάσεως.

Τὴν τῶν Ἀγγέλων Βασίλισσαν, Μῆτερ Πελαγία, ὡς κατεῖδες λάμπουσαν, βουλὴν δὲ τὴν ἑαυτῆς μυσταγωγοῦσάν σε, ἀκήκοας ἐξ αὐτῆς. Εὐαγγελίζου ἡ γῆ χαρὰν κρείττονα, ἀντέφης δὲ ἐν χαρᾷ. Οἱ οὐρανοὶ Θεοῦ δόξαν αἰνέσατε. Ὅθεν ἅπασα ἡ νῆσος Τῆνος μακαρίζει σε, ὡς θεράπαιναν θείαν, τῆς Μητρὸς Τοῦ Παντοκράτορος.

www.tezaurliturgic.ro



**Προσόμοια ἕτερα.**

**Ἦχος ὁ αὐτός. Πανεύφημοι Μάρτυρες.**

Ἐκ βρέφους σεμνὴ τὴν ἀρετήν, οὐρανίῳ ἔρωτι, ὁλοσχερῶς ἀγαπήσασα, χαίρουσα ἔδραμες, εἰς Κεχροβουνίου, Μάνδραν τὴν περίβλεπτον, καὶ βίον τὸν ἐνάρετον ἔζησας, ἐνθέοις πράξεσι, τῷ Χριστῷ εὐαρεστήσασα, Πελαγία, Μῆτερ παναοίδιμε.

Καὶ ὄναρ καὶ ὕπαρ ἐμφανῶς, ὑπὲρ νοῦν ἀστράπτουσαν, τὴν Θεοτόκον ἑώρακας, σαυτὴν καθάρασα, ἐκ πάσης προσύλου, ἐννοίας καὶ σχέσεως, καὶ πᾶσι τοῖς ἐν Τήνῳ ἐξήγγειλας, τὴν ἐπισκίασιν. Τῆς Μητρὸς Τοῦ Παντοκράτορος, Πελαγία, παραδόξοις θαύμασι,

Ὁσίως ἐν πάσῃ ἀρετῇ, Μῆτερ πεπολίτευσαι, πολλῷ δὲ πλέον ἐξέλαμψας, τῇ τοῦ πλησίον σου, τελείᾳ ἀγάπῃ, Πελαγία πάνσεμνε, διὸ τὴν σεβάσμιον κάραν σου, κατασπαζόμενοι, ἐξ αὐτῆς ὀσμὴν οὐράνιον, χορηγίᾳ θείᾳ, κομιζόμεθα.

**Δόξα. Ἦχος β΄.**

Ἀνατεθεῖσα Χριστῷ τῷ νυμφίῳ σου, ἀσκητικῶς αὐτῷ ἠκολούθησας, Πελαγία Θεόφρον, τῶν γὰρ θείων ἐνταλμάτων, δεξαμένη τὸν σπόρον, ὡς γῆς ἀγαθὴ ἐγεώργησας, τῆς ἐγκρατείας τοὺς καρπούς, τοῖς πάλαι Ὁσίοις στοιχήσασα, θεοπρεπῶς γὰρ ἐβίωσας, καὶ σκεῦος εὔχρηστον ἐδείχθης, τῆς Ἁγνῆς Θεοτόκου, τῇ εὐδοκίᾳ ταύτης λειτουργήσασα. Ἧς τὴν μεγαλοπρέπειαν τῆς δόξης ὁρῶσα, ἐν τῷ νυμφῶνι τῆς χαρᾶς, ἱκέτευε Ὁσία, ὑπὲρ τῶν τιμώντων σε.

**Καὶ νῦν. Ὁ αὐτός.**

**Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου . . .**

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα τοῦ ἁγίου Σάββα.

www.tezaurliturgic.ro



### Εἰς τὴν Λιτήν, Ἰδιόμελα Ἦχος. α΄.

Εὐφραίνου ἐν Κυρίῳ, Κεχροβουνίου Μονή, τῆς Ἁγνῆς θεομήτορος, φυταλιὰ ἡ εὐθαλής, ἰδοὺ γὰρ ἐν σοὶ ἐβλάστησεν, ὡς ἐλαία κατάκαρπος, ἡ Ὁσία Πελαγία, ἡ ἐν ὁσιότητι καὶ ἀληθείᾳ τὸν Χριστὸν θεραπεύσασα. Ὅθεν ὡς καθαρὰ τὴν καρδίαν, θείων ἀποκαλύψεων ἠξίωται, καὶ τὴν Πανάχραντον Κόρην, πρόσωπον πρὸς πρόσωπον τεθέαται, καὶ τὴν ἐπίσκεψιν αὐτῆς, διὰ τῆς χαριτοβρύτου ταύτης Εἰκόνος, ἡμῖν εὐηγγελίσατο. Ἡ καὶ πρεσβεύει ἀπαύστως, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

### Ἦχος β΄.

Τῆς θείας ἀγάπης τῷ ἄνθρακι, καιομένη τὴν ψυχήν, δι᾿ ἔργων τοῦτο ὑπέφηνας ταῖς νοσούσαις ἀδελφαῖς, Πελαγία Ὁσία, σπλάγχνα οἰκτιρμῶν γὰρ ἐπεδείξω, ἐλεήμονι ψυχῇ, καὶ ταῖς πασχούσαις ἐβόηθεις, διαθέσει δαψιλεῖ, καὶ στοργῇ τελείᾳ. Ὅθεν θείου μακαρισμοῦ ἠξιώθης, καὶ τὴν γῆν τῶν πραέων ἐκληρονόμησας, καὶ τῆς Ζωῆς τῷ ξύλῳ, ἀποκατέστης ἀοίδημε.

### Ἦχος γ΄.

Τῇ ἐναρέτῳ σου Ζωῇ θεοφιλῶς πολιτευομένη, τὴν τοῦ ἀδύτου φωτὸς Μητέρα, θεάσασθαι ἠξίωσαι, Πελαγία θεόληπτε, ὢ χάριτος ἧς ἔτυχες, τῇ καθαρᾷ πολιτείᾳ σου. Τῆς γὰρ Ἁγνῆς Θεομήτορος, τῇ βουλῇ διηκόνησας, καὶ τὴν ἐν λαγόσι κεχρωσμένην τῆς γῆς θαυμαστὴν αὐτῆς Εἰκόνα, τοῖς ἐν τῇ νήσῳ ἀπεκάλυψας, καὶ καταλλήλως τῇ κλήσει ἐμπρέψασα, ἐν ταῖς τῶν ἁγίων λαμπρότησιν ἐσκήνωσας, μεθ᾿ ὧν ἱκέτευε δεόμεθα, Μῆτερ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος δ΄.

Τῶν Ἁγίων τοῖς ἴχνεσι βαίνουσα, ἁγιοπρεπῆ πολιτείαν ἤνυσας, ἐν ταπεινώσει Ὁσία, καὶ θείῳ φρονήματι Πελαγία, τῶν γὰρ παθῶν τὸ δυσῶδες βδελυξαμένη, εὐωδία Χριστοῦ ἐγένου, καθαρότητα ποθήσασα, καὶ ἁγνείαν περιποιησαμένη. Ὅθεν ὀσμὴν ἀπαθείας, καὶ εὐω-

www.tezaurliturgic.ro



δίαν ἁγιότητος, ἡ ἁγία κάρα σου διαπνέει, καὶ τῆς ψυχῆς ἡμῶν τὰς αἰσθήσεις εὐφραίνει, πρὸς αἶνον καὶ δόξαν Χριστοῦ Τοῦ Θεοῦ, παρέχοντος διὰ σοῦ, ἡμῖν τὸ μέγα ἔλεος.

**Δόξα. Ἦχος πλ. β΄.**

Τῆς πρακτικῆς ἀρετῆς, δόκιμος ἐδείχθης, τὸν ζυγὸν τοῦ Χριστοῦ, ἄρασα, Ὁσία Μῆτερ, ὅλην γὰρ αὐτὴν ἐπέδωκας, πρὸς ἐργασίαν τοῦ θείου θελήματος, τελειοτάτῳ νοΐ, πρὸς τὸν σκοπὸν τῆς ἄνω κλήσεως, ἐπειγομένη καὶ σπεύδουσα. Ὅθεν Κεχροβουνίου Μονή, τοῖς σοῖς προτερήμασι καλλωπίζεται, καὶ ἡ ἐνεγκαμένη σε Τῆνος, μακαρίζει τοὺς πόνους σου. Ἀλλ' ὦ Πελαγία θεόφρον, Τῇ Παναχράντῳ Θεοτόκῳ πρέσβευε, σώζεσθαι ἡμᾶς, πάσης περιστάσεως.

**Καὶ νῦν. Θεοτόκιον.**

**Θεοτόκε σὺ εἶ ἄμπελος...**

**Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.**

**Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.**

Ὡς κατεῖδες ἐκλάμπουσαν, τὴν Ἁγνὴν Θεομήτορα, παρ' αὐτῆς πεπλήρωσαι θείας χάριτος, καὶ οὐρανίου ἐλλάμψεως, καὶ δόξης τῆς κρείττονος, ἠξιώθης ἀληθῶς, Πελαγία θεόληπτε, καὶ ἐξήγγειλας, τοῖς ἐν νήσῳ αὐτῆς τὴν εὐδοκὶαν, καὶ τὴν πάλαι κεκρυμμένην, αὐτῆς Εἰκόνα τὴν πάνσεπτον.

**Στίχος. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...**

Ἐκ νεότητος ἄρασα, τὸν Σταυρὸν τοῦ νυμφίου σου, τούτῳ ἠκολούθησας θείῳ ἔρωτι, καὶ πολιτείαν οὐράνιον, ἐν πάσῃ σεμνότητι καὶ ἀγάπῃ ἀληθεῖ, καὶ πλουσίᾳ χρηστότητι, πεπολίτευσαι, ἐν Μονῇ τῇ σεπτῇ Κεχροβουνίου, Πελαγία θεοφόρε, ὅθεν ἀξίως δεδόξασθαι.

**Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...**

Τῶν Ὁσίων ἰσότιμος, ἀρετῶν τῇ λαμπρότητι, Πελαγία πάνσεμνε ἀναδέδειξαι, μοναζουσῶν δὲ ἀγλάϊσμα, καὶ θεῖον ὑπόδειγμα, πρὸς

www.tezaurliturgic.ro



ἀγῶνας ἀληθεῖς, καὶ τῆς Τήνου ὡράϊσμα, καὶ ἐξαίρετον, τῆς ἁγίας Μονῆς Κεχροβουνίου, ἐγκαλλώπισμα Ὁσία, καὶ πρὸς Θεὸν πρέσβυς ἔνθεος.

**Δόξα. Ἦχος πλ. δ΄.**

Τὴν τοῦ βίου σου χρηστότητα, ὡς προσφορὰν εὐπρόσδεκτον, Ὁ Σωτὴρ ἡμῶν ἐδέξατο, Πελαγία θεόληπτε, ἔνθεν ἡ Ἄχραντος Μήτηρ αὐτοῦ, ἐπεσκέψατό σε, καὶ τὴν πρὸς ἡμᾶς αὐτῆς εὔνοιαν, καὶ θαυμαστὴν κηδεμονίαν, διὰ σοῦ ἡμῖν εὐηγγελίσατο, ὡς γὰρ στήλην ἐχέγγυον, τῶν θείων ἐπαγγελιῶν, τὴν ἱερὰν αὐτῆς Εἰκόνα εὑράμεθα, ἐξ ἧς ἀεὶ ποριζόμεθα, πᾶσαν δόσιν ἀγαθήν, καὶ ψυχῶν καὶ σωμάτων τὰ ἰάματα.

**Καὶ νῦν. Θεοτόκιον.**
**Δέσποινα πρόσδεξαι . . .**
**Νῦν ἀπολύεις, τὸ τρισάγιον καὶ τὸ ἀπολυτίκιον.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Ἀμέμπτως ἐβίωσας, ἐν ἐγκρατείᾳ πολλῇ καὶ πόνοις ἀσκήσεως, καὶ ἐν ἀγάπῃ θερμῇ, Πελαγία θεόληπτε. Ὅθεν τὴν Θεοτόκον, ἐπαλλήλως κατεῖδες, μηνύουσάν σοι Εἰκόνος, τὴν ἀνεύρεσιν ταύτης. Ἡ πρέσβευε Ὁσία Μῆτερ , ὑπὲρ τῶν τιμώντων σε.

**Θεοτόκιον.**
**Τὸ ἀπ᾿ αἰῶνος ἀπόκρυφον.**
**Ἀπόλυσις**

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὴν πρώτην Στιχολογίαν, Κάθισμα.**
**Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.**

Ὁσίων τὴν ζωήν, βιοτεύσασα Μῆτερ, Ἁγίων ἐν Σκηναῖς, ἱερῶς ἀνεπαύσω, καὶ βλέπεις ἅπερ βλέπουσι τῶν Ἀγγέλων τὰ τάγματα. Ὅθεν σήμερον, Κεχροβουνίου ἡ Μάνδρα, ἑορτάζει σου, πνευματικῶς Πελαγία, τὴν μνήμην τὴν πάνσεπτον.

**Θεοτόκιον . . .**

Ἐν ὄψει μυστικῇ, κατ᾿ ὄναρ καὶ ὕπαρ, ἐπέστης Ἀγαθή, τῇ σεμνῇ Πελαγίᾳ, καὶ ταύτῃ Κόρῃ εἴρηκας, ἀπαγγεῖλαι ὡς τάχιστα, ἀνασκά-

www.tezaurliturgic.ro



ψασθαι , καὶ ἀνευρεῖν σὴν Εἰκόνα, ἣν εὑράμενοι ναόν σοι ἤγειραν θεῖον, ὑμνοῦντες Τὴν χάριν σου.

**Μετὰ τὴν β΄ Στιχολ. Κάθισμα.**
**Ἦχος γ΄. Θείας πίστεως**

Βίον ἔνθεον, ἔχουσα Μῆτερ, θείας χάριτος, κατηξιώθης, καὶ ἁγίων ἰσοστάσιος πέφηνας, τῷ γὰρ Σωτῆρι ὁσίως λατρεύσασα, τῆς Θεοτόκου ἐδείχθης θεράπαινα. Ὅθεν πρέσβευε, λυτροῦσθαι ἐκ πάσης θλίψεως, Ὁσία Πελαγία τοὺς τιμῶντάς Σε.

**Θεοτοκίον.**

Τῇ κελεύσει σου, καθυπουργοῦσα, καὶ τοὺς λόγους σου, σπουδῇ πληροῦσα, ἡ Ὁσία Πελαγία Πανάχραντε, τὴν σὴν ἐμφάνειαν πᾶσιν ἐξήγγειλε, δι᾽ ἧς ἐμφανὴς Κόρη γέγονεν, ἡ ὑπέρτιμος Εἰκών σου καὶ χαριτόβρυτος, πηγάζουσα τῷ κόσμῳ χάριν ἄφθονον.

**Μετὰ τὸν πολυέλεον, Κάθισμα.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Ἀρετῶν ἐν τοῖς ἔργοις Μῆτερ ἐμπρέπουσα, τῇ μυστικῇ θεωρίᾳ τῆς τοῦ Σωτῆρος Μητρός, ἐτελέσθης ἀληθῶς καὶ κατηγλάϊσαι, ταῖς ἐξ αὐτῆς μαρμαρυγαῖς, καὶ μεσίτις πρὸς αὐτήν, εὐπρόσδεκτος ἀνεδείχθης τῶν προσφευγόντων Ὁσία, ταύτης τῇ χάριτι ἐκ πίστεως.

**Θεοτοκίον.**

Τῆς σεπτῆς σου Εἰκόνος Εὐαγγελιστρίας, τῆς ὑπὸ γῆν κεκρυμμένης εὐηγγελίσω σαφῶς, τὴν ἀνεύρεσιν Ἁγνὴ Θεοχαρίτωτε, τῇ Πελαγίᾳ τῇ σεμνῇ, ὡς θεραπαίνῃ σου πιστῇ, Παρθένε Θεογεννῆτορ, ἧς ταῖς πρεσβείαις συντήρει, ταύτην τὴν ποίμνην σου ἀλώβητον.

**Τὸ α΄. Ἀντίφωνον τοῦ δ΄ Ἤχου καὶ τὸ Προκ.**
**Ὑπομένων Ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μου.**

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

**Εὐαγγέλιον κατὰ Μάρκον.**

www.tezaurliturgic.ro



**Ζήτει τῇ γ΄ Κυριακῇ τῶν νηστειῶν.**
**Ὁ Ν. Δόξα. Ταῖς τῆς Ὁσίας**
**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου . . .**
**Ἰδιόμελον. Ἦχος πλ. β΄.**
**Στίχ. Ἐλέησόν με ὁ Θεός . . .**

Τὴν ἀσκητικὴν πολιτείαν, ἀμέμπτως διανύσασα, καὶ τῶν ἀρετῶν δοχεῖον γενομένη, τῶν ἀπ᾿ αἰῶνος Ὁσίων τοῖς δήμοις ἠρίθμησαι, καὶ τῆς μακαρίας θεώσεως, ἠξίωσαι Μῆτερ. Αὐτῆς καὶ ἡμᾶς ἀξίωσον, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου, Πελαγία θεόφρον, Μοναζουσῶν τὸ ἀγλάϊσμα.

**Σῶσον ὁ Θεὸς τὸν λαόν σου . . . καὶ οἱ κανόνες τῆς Θεοτόκου καὶ τῆς Ὁσίας. Κανὼν τῆς Ὁσίας οὗ ἡ ἀκροστιχίς.**

**(Ὑμνοῦντί σε Μῆτερ δός μοι λόγον Γερασίμου)**
**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Ὑψόθεν παράσχου μοι, Λόγε Θεοῦ Ὑπερούσιε, σοφίαν τοῖς χείλεσι, καὶ λόγον Δέσποτα, τῆς Ὁσίας σου, ὑμνῆσαι Πελαγίας, τὸν βίον τὸν ἄμεμπτον, καὶ τὴν χρηστότητα.

Μεγάλης ἠξίωσαι, ὡς ἀληθῶς Μῆτερ χάριτος, ὡς σκεῦος ἐπάξιον, ἐνθέων πράξεων, τὴν Πανάχραντον, ἰδοῦσα Θεοτόκον, καὶ ταύτης θεράπαινα πιστὴ ὑπάρξασα.

Νοός σου τὴν ἔφεσιν, ἀπὸ νεότητος ἴθυνας, πρὸς μόνον τὸν Κύριον, ἐνθέῳ ἔρωτι, οὗ τοῖς ἴχνεσι, σεμνὴ ἀκολουθοῦσα, Ὁσίων ἐζήλωσας, Μῆτερ τὴν ἄσκησιν.

**Θεοτοκίον.**

Ὁλόφωτος Ἄχραντε, τῇ Πελαγίᾳ τεθέασαι, καὶ ταύτην προσέταξας, τοῦ ἀναγγεῖλαι σπουδῇ, τῆς Εἰκόνος Σου, τὴν εὕρεσιν ἐν Τήνῳ, δι᾿ ἧς ἐπληρώθημεν, ἀγαλλιάσεως.

**Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Ὑπῆλθες προθύμῳ διανοίᾳ, Ὁσία ζυγὸν τὸν Τοῦ Χριστοῦ, καὶ τῇ Μονῇ προσέδραμες, Κεχροβουνίου χαίρουσα, πρὸς τὰς ἀρχὰς πυκτεύουσα, τοῦ πονηροῦ κοσμοκράτορος.

www.tezaurliturgic.ro



Νεκρώσασα πόνοις ἐγκρατείας, τὸ φρόνημα Μῆτερ τῆς σαρκός, τὴν σὴν ψυχὴν ἐπτέρωσας, πρὸς τὴν ζωὴν τὴν ἄληκτον, νηστείας καὶ δεήσεσι, ἀγγελικῶς βιοτεύουσα.

Ταπείνωσιν ἄμετρον πλουτοῦσα, ἀγάπης ἐδείχθης θησαυρός, καὶ θεία ὑποτύπωσις, τῇ καθαρᾷ ἀσκήσει σου, πρὸς ἀρετῶν ἐδίδοσιν, ταῖς Μοναζούσαις θεόληπτε.

**Θεοτοκίον.**

Ἰδοῦσα τὴν Ἄχραντον Παρθένον, ἐπλήσθης ἀΰλου φωτισμοῦ, ὢ Πελαγία πάνσεμνε, καὶ πᾶσιν ἐφανέρωσας, αὐτῆς τὴν ἐπιφάνειαν εἰς εὐσεβῶν περιποίησιν.

**Κάθισμα. Ἦχος δ΄, Ταχὺ προκατάλαβε.**

Μονὴ ἐπαγγέλλεται, Κεχροβουνίου ἐν σοί, ἐν ταύτῃ γὰρ ἤνυσας, τὴν σὴν ἁγίαν ζωήν, Πελαγία θεόπνευστε, ὅθεν καὶ τὴν σὴν κάραν, εὐλαβῶς προσκυνοῦσα, θείας ἐκ ταύτης Μῆτερ, εὐωδίας πληροῦται, δοξάσασα Τὸν Κύριον, τὸν Σὲ ἁγιάσαντα.

**Θεοτοκίον.**

Τὴν δόξαν τὴν ἄρρητον, τῆς τοῦ Σωτῆρος Μητρός, τρανῶς ἄρτι βλέπουσα, ἣν ἐπὶ γῆς ἀμυδρῶς, κατεῖδες θεόληπτε, πρέσβευε Πελαγία, τῇ Ἁγνῇ Θεοτόκῳ ταύτης σου προνοεῖσθαι, τῆς Μονῆς καθ' ἑκάστην, τῆς πόθῳ ἀνυμνούσης, αὐτῆς τὰ θαυμάσια.

**Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Σώματός σου τὰς ὀρέξεις, τῇ συντόνῳ ἀσκήσει σου, θανατοῦσα Μῆτερ, πρὸ ζωὴν τὴν ἄνω κατηύθυνας, τῆς σῆς ψυχῆς Πελαγία τὰ κινήματα, ἧς καὶ ἔτυχες, τὸν σὸν ἀγῶνα τελέσασα.

Ἐν ὁράματι μὲν πρώην, ἐπαλλήλως, ἑώρακας, καὶ καθ' ὕπαρ εἶτα, Μῆτερ Πελαγία ἐκλάμπουσαν, τὴν ἡλιόμορφον Κόρην καὶ Πανάχραντον, σοὶ μηνύουσαν, τὴν πρὸς ἡμᾶς ταύτης εὔνοιαν.

www.tezaurliturgic.ro



Μύστις ἔνθεος ἐδείχθης, τῆς Ἁγνῆς Θεομήτορος, ὡς κεκαθαρμένη, νοῦν τε καὶ ψυχὴν καὶ διάνοιαν, καὶ τοὺς ἐν Τήνῳ πιστοὺς Μῆτερ ἐμύησας, πρὸς ἀνεύρεσιν, τοῦ θείου ταύτης Μορφώματος.

Η σεμνή σου πολιτεία, καὶ ἡ ἔνθεος ἄσκησις, ἐναρέτων ἔργων, καὶ χρηστῶν ἠθῶν στήλην ἔμψυχον, τῇ Μάνδρᾳ σὲ ἀνέδειξε, πρὸς τὰ κρείττονα, τὰς μοναστρίας παιδεύουσαν.

**Θεοτοκίον.**

Τὴν πολύφωτόν σου δόξαν, Πελαγία ἡ δούλη σου, ὡς τεθαμμένη, ἔνθους καὶ μετάρσιος γέγονεν, ὑμνολογοῦσα τὴν σὴν μεγαλειότητα, Παντευλόγητε, Μῆτερ Χριστοῦ Ἀειπάρθενε.

**Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Εξέστης τῷ πνεύματι, ὡς ἐθεάσω πάνσεμνε, τὴν Ἁγνὴν Παρθένον ἐκβοῶσαν, Εὐαγγελίζου χαρὰν μεγάλην ἡ γῆ, καὶ ἔφησας ἐνθεαστικῶς, Οὐρανοὶ αἰνέσατε, τοῦ Θεοῦ δόξαν ἄρρητον.

Ρημάτων ὡς ἤκουσας, τῆς μονῆς θεομήτορος, ἔσπευσας καὶ ἤγγειλας Ὁσία, τοῖς ἐν τῇ νήσῳ προκρίτοις χαίρουσα, τὴν σοὶ γενομένην ἐμφανῶς, θείαν ἀποκάλυψιν, τῆς Μητρὸς τοῦ Παντάνακτος.

Δοχεῖον πολύτιμον, τῆς δωρεᾶς τοῦ Πνεύματος, Μῆτερ Πελαγία ἀνεδείχθης, τῇ ἐναρέτῳ καὶ καθαρᾷ σου ζωῇ, καὶ μεσῖτις ἔνθεος σεμνή, πρὸς τὴν πάντων Ἄνασσαν, τῶν πιστῶς προσιόντων σοι.

**Θεοτοκίον.**

Ο λόγος σου Δέσποινα, ὃν ἐπιστᾶσα εἴρηκας, τῇ σῇ θεραπαίνῃ Πελαγίᾳ, τοὺς ἐν Τήνῳ χαρᾶς ἐνέπλησε καὶ εὐθὺς ὀρύξαντες τὴν γῆν τὸν ναόν σου εὕραντο, καὶ τὸ θεῖον Εἰκόνισμα.

**Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.**

Συνέσει θείᾳ ἐκλάμπουσα, ἀγάπης ἐπεδείξω χρηστότητα, ἀνακουφίζουσα, καὶ βοηθοῦσα ἑκάστοτε, Ὁσία ταῖς πασχούσαις, γνώμῃ θεόφρονι.

www.tezaurliturgic.ro



Μνήμην τὴν σὴν ἑορτάζουσα, Μονὴ Κεχροβουνίου γεραίρει σε, καὶ κατασπάζεται, ὡς θησαυρὸν ἁγιάσματος, Ὁσία Πελαγία τὴν θείαν κάραν σου.

Ὁλοσχερῶς ἀναπτέρωσαι, πρὸς δόξαν τε καὶ φῶς οὐράνιον, ὅτε ἑώρακας τὴν τῶν Ἀγγέλων βασίλισσαν, Ὁσία Πελαγία, προσφθεγγομένην σοι.

**Θεοτοκίον.**

Ἰδεῖν Ὁσία ἠξίωσαι, καθάρασα ψυχῆς σου τὰ ὄμματα, τὴν ἀειπάρθενον. Ὅθεν φωτὸς πλήρης γέγονας, καὶ εὐφροσύνης Μῆτερ, τῆς ὑπὲρ ἔννοιαν.

**Κοντάκιον. Ἦχος α'. Χορὸς Ἀγγελικός.**

Ζωὴν θεοφιλῆ, διανύσασα Μῆτερ, ἀσκήσει ἀρετῶν καὶ ἠθῶν εὐκοσμίᾳ, θεράπαινα πέφηνας, τῆς Ἁγνῆς Θεομήτορος, ὅθεν χαίρουσα, Κεχροβουνίου ἡ Μάνδρα, μακαρίζει σε, ὦ Πελαγία θεόφρον, τιμῶσα τὴν κάραν σου.

**Ὁ Οἶκος.**

Ἀπὸ νεότητος σεμνή, καταλιποῦσα πάντα, κατηκολούθησας Χριστῷ, ἀνενδοιάστῳ λογισμῷ καὶ ἀνενδότῳ πόθῳ, καὶ τῇ τοῦ Κεχροβουνίῳ ἱερᾷ δραμοῦσα Μονῇ, δόκιμος Μονάστρια ἀναδέδειξαι, ταῖς πρακτικαῖς ἀρεταῖς διαπρέψασα καὶ ὁσίως Χριστὸν θεραπεύσασα, ὡς τὰ ἄνω ποθοῦσα καὶ ζητοῦσα Ὁσία. Ὅθεν ὡς ἐκλεκτὴ καὶ καθαρὰ τῇ καρδίᾳ, τῆς Θεοτόκου τῆς ἐμφανείας ἠξίωσαι, καὶ μυσταγωγὸς ἀληθὴς ἐχρημάτισας, τῶν παρ' αὐτῆς, πρὸς ἡμᾶς χορηγουμένων παντοδαπῶν ἀγαθῶν, καὶ ποικίλων εὐεργερσιῶν, τῇ ἀνευρέσει τῆς θαυμαστῆς αὐτῆς καὶ ἁγίας Εἰκόνος, Πελαγία θεόφρον, διὸ ἡ νῆσος αὕτη σὺν τῇ Μονῇ σου μακαρίζει σε, τιμῶσα τὴν κάραν σου.

**Συναξάριον.**

Τῇ κγ' τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ὁσίας Μητρὸς ἡμῶν Πελαγίας, τῆς ἐν τῇ Ἱερᾷ Μονῇ Κεχροβουνίου ἀακησάσης, τῇ οὔσῃ ἐν τῇ νήσῳ Τήνῳ, εἰς ἣν ἐμφανισθεῖσα ἡ Ὑπεραγία Θεοτόκος ἐφανέρωσε τὴν ἀνεύρεσιν τῆς θαυματουργοῦ αὐτῆς Εἰκόνος, τῆς Εὐαγγελιστρίας.

**Στίχ. Πελαγία πέλαγος χαρίτων εὗρε τῆς Θεοτόκου θεράπαινα ὀφθεῖσα.**

www.tezaurliturgic.ro



Πελαγία εὐκλεής τρίτῃ εἰκάδι ἀφθίτου τύχε.

Ταῖς αὐτῆς, καὶ πάντων τῶν Ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Ὁ διασώσας ἐν πυρί.**

Λελαμπρυσμένη τῷ φωτί, τῆς ὑπερφυοῦς θεωρίας, τῷ Ἱεράρχῃ Γαβριήλ, Πελαγία ἐπέστης κραυγάζουσα. Ἡ παρθένος ἐπέφανε, καὶ παρέχει ἡμῖν χάριν δαψιλεστάτην.

Οἱ ἐν τῇ νήσῳ εὐσεβεῖς, κατὰ τοὺς σοὺς λόγους Ὁσία, ἔδραμον πάντες ἐν σπουδῇ, καὶ τὴν γῆν ἀνορύξαντες εὕραντο, ὡς χρυσίον πολύτιμον, τὴν Εἰκόνα τὴν ὑπέρτιμον τῆς Πανάγνου.

Γεγονωτέρα τῇ φωνῇ, ᾔνεσαν τὴν Πάναγνον Κόρην, ἡνίκα εὗρον ὑπὸ γῆν, σὺν ναῷ αὐτῆς τὸ θεῖον Εἰκόνισμα καὶ ναὸν περιβόητον, ταύτῃ ἤγειραν ἐν πίστει καὶ εὐλαβείᾳ.

Ὅλον τὸν βίον σου σεμνή, ἤνεγκας ὡς δῶρον εὐῶδες, τῇ Θεοτόκῳ Μαρίᾳ παρ' αὐτῆς μυουμένη τὰ κρείττονα, Πελαγία καὶ κράζουσα, χαῖρε Κόρη Ὀρθοδόξων ἡ προστασία.

**Θεοτοκίον.**

Ναόν σοι ἵδρυσαν λαμπρόν, οἱ πιστοὶ ἐν νήσῳ τῆς Τήνου, καὶ ἐν αὐτῷ πίστει θερμῇ, τὴν ἁγίαν Εἰκόνα σου ἔθεντο, ἐκβοῶντες σοὶ Ἄχραντε, χαῖρε σκέπη τῆς Ἑλλάδος καὶ προστασία.

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.**

Γνώμῃ θεολήπτῳ κοσμουμένῃ, κατάλληλον πολιτείαν ἐπιδέδειξαι, ἤθεσιν ἁπλότητος, καὶ τρόποις χρηστότητος, καὶ ἔργοις ταπεινώσεως Χριστὸν δοξάζουσα Ὁσία Πελαγία θεόφρον, ὅθεν ἐδοξάσθης, σὺν πᾶσι τοῖς Ἁγίοις.

Ἔχει ἡ Μονὴ Κεχροβουνίου, τὴν κάραν σου τὴν μυρίπνοον θησαύρισμα, ἀληθῶς οὐράνιον, Πελαγία πάντιμε, καὶ ἐξ αὐτῆς τῆς χάριτος ἀντλοῦσα πάντοτε, ὀσμὴν καὶ εὐωδίαν τὴν θείαν, πᾶσαν δυσωδίαν, παθῶν ἀποδιώκει.

www.tezaurliturgic.ro



Ρήσεις τοῦ Χριστοῦ Μῆτερ πληροῦσα, πτωχείαν πλουτοποιὸν ἐμφρόνως ἔστερξας, καὶ τριχίνοις ράκεσι, θλίβουσα τὸ σῶμά σου, ἀνάπαυσιν αἰώνιον καὶ φῶς ἀνέσπερον, καὶ πλοῦτον ἀφθαρσίας ἐδέξω, ἐν ταῖς τῶν Ἁγίων, λαμπρότησιν Ὁσία.

Θεοτοκίον.

Ἄνωθεν Κυρία τῶν Ἀγγέλων, ἐν ὄψεσι ξενοτρόποις ὡς ηὐδόκησας, ὤφθης ὡς φιλάγαθος, ἐπαλλήλως Δέσποινα, τῇ Πελαγίᾳ Πάναγνε καὶ ταύτῃ δέδωκας, σεπτὸν χρηματισμὸν Θεοτόκε , ὅθεν ἀνυμνοῦμεν, τὴν πρὸς ὑμᾶς σου χάριν.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Στήλην ἀρετῆς, τὸν βίον σου ἔλιπες καὶ ὑποτύπωσιν, ἐναρέτων πράξεων, Κεχροβουνίου τῇ Μάνδρᾳ πάνσεμνε, πρὸς τοῦτον ἀφορῶσαι γὰρ Μοναζουσῶν ἡ πληθύς, θεαρέστως, ἑαυτὰς ρυθμίζουσαι, Πελαγία πρὸς θείαν ἀνάβασιν.

Ἴνα τοῦ Χριστοῦ, τῆς ἄνω λαμπρότητος μεθέξῃς πάνσεμνε, σευτὴν ἐλάμπρυνας, φωτὸς τοῖς ἔργοις βίου λαμπρότητι, καὶ ὡς καλὴ καὶ ἄμωμος χαίρουσα ἔδραμες, Πελαγία, πρὸς τὰ ὑπερκόσμια καὶ ὑπέρλαμπρα Μῆτερ σκηνώματα.

Μύρου ἱεροῦ, τὰ θεῖά σου λείψανα πλήρη ὡράθησαν Μῆτερ ἀεισέβαστε, ἡνίκα ταῦτα ἀπὸ τοῦ μνήματος, σεμνῶς ἀνεκομίζοντο ἀρωματίζοντα, Πελαγία, θείαις διαδόσεσι, τῶν πιστῶν τὰς ψυχὰς καὶ τὰ σώματα.

Ὅμιλος σεμνός, ὑμνεῖ σε ἐν ᾄσματι Μοναζουσῶν εὐλαβῶς, ἃς σκέπε καὶ φύλαττε, ἐκ τῆς μανίας τοῦ πολεμήτορος, κἀμοὶ δὲ τῷ αἰνέσαντι τὴν πολιτείαν σου, δίδου Μῆτερ, ταῖς σεπταῖς πρεσβείαις σου, τῶν πολλῶν μου πταισμάτων τὴν ἄφεσιν.

Θεοτοκίον.

Ὕψωσον καὶ νῦν, τὰς ὁσίας χεῖράς σου καθικετεύουσα, τὴν μόνην Πανάχραντον, ὑπὲρ τῆς Μάνδρας σου ταύτης πάντιμε, τῆς βλαστησάσης Τήνου σε πάσης Ἑλλάδος τε, ὡς ἂν Μῆτερ, πάντοτε ρυώμεθα, συμφορῶν καὶ ποικίλων στενώσεων.

www.tezaurliturgic.ro



**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε**

Ὡς ἄνθος σε πανεύοσμον, ἡ νῆσος Τῆνος ἤνθησεν, ἡ δὲ Μονὴ ἐνεπλήσθη, Κεχροβουνίου Ὁσία, ὀσμῆς τῆς Ὁσιότητος, τοῦ ἐναρέτου βίου σου, καὶ τὴν ἁγίαν κάραν σου, προσπτύσσεται μετὰ πόθου, τιμῶσα σε Πελαγία.

**Θεοτοκίον.**

Χρηματισθεῖσα πάνσεμνε, ὀμφῇ τῇ ὑπέρ ἔννοιαν τῆς Παναγίας Παρθένου, αὐτῆς τὴν Θείαν Εἰκόνα, τὴν κεκρυμμένην πρότερον, ὑπὸ τὴν γῆν ἐδήλωσας, καὶ νῦν Ὁσία πρέσβευε, τῇ Θεοτόκῳ Μαρίᾳ, ὑπὲρ τῶν σὲ εὐφημούντων.

**Εἰς τοὺς Αἴνους.**

**Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς.**

**Προσόμοια.**

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Ἀσκητικὴν πολιτείαν ἐπιποθήσασα, μετὰ σπουδῆς προσῆλθες, ἐκ νεότητος Μῆτερ, Μονῇ Κεχροβουνίου τῇ ἱερᾷ, καὶ λαμπρῶς κατηξίωσαι ἀποκαλύψεων θείων καὶ θαυμαστῶν, Πελαγία τῆς Μητρὸς τοῦ Θεοῦ.

Ἐν ταπεινώσει Ὁσία καὶ ἐγκρατείᾳ πολλῇ, τελοῦσα τὴν ζωήν σου, καὶ ἀγάπῃ πλουσίᾳ, ἰδεῖν κατηξιώθης ὡς καθαρά, καὶ ψυχὴν καὶ διάνοιαν, τὴν Θεοτόκον μυοῦσάν σε ἀληθῶς, Πελαγία τὰ ἐσόμενα.

Ἀγαλλομένῃ καρδίᾳ τοῖς πᾶσιν ἤγγειλας, τὴν θείαν εὐδοκίαν, τῆς Ἁγνῆς Θεοτόκου, ἐντεῦθεν οἱ ἐν Τήνῳ μετὰ σπουδῆς, Πελαγία ὀρύξαντες τὴν γῆν, ἀνεῦρον Εἰκόνα τὴν θαυμαστήν, τῆς Παρθένου χάριν βρύουσαν.

Κεχροβουνίου ἡ Μάνδρα ἐν σοὶ ἀγάλλεται, Ὁσία Πελαγία, καὶ τιμᾷ σου τὴν κάραν καὶ πρέσβιν σε προβάλλεται τῇ Μητρί, τοῦ Θεοῦ ἡμῶν πάντοτε. Ἣν ἐκδυσώπει ἀπαύστως παντὸς κακοῦ, τὴν Μονήν σου, Μῆτερ, ῥύεσθαι.

www.tezaurliturgic.ro



**Δόξα. Ἦχος πλ. α΄.**

Τοῦ θείου φόβου τῷ πυρί, παθῶν τὰς ἀκάνθας ἔφλεξας, ἐμφρόνως ρυθμιζομένη, Πελαγία Ὁσία, ὅλον τὸν πόθον γὰρ σεμνή, πρὸς Χριστὸν ἀνέτεινας, καὶ αὐτὸν μόνον ἐπόθησας, ὡς ἐφετῶν ἀκρότατον, ὅθεν ὡς λαμπὰς φωτεινή, ἐν Τήνῳ ἀνέλαμψας, καὶ τῷ φωτὶ τῶν ἔργων σου, τῶν πιστῶν τὰς καρδίας καταυγάζεις. Ἀλλ᾽ ὡς ἐν τῷ νυμφῶνι τῆς ζωῆς χορεύουσα, τῇ Μητρὶ τοῦ Θεοῦ πρέσβευε Μῆτερ, προνοεῖσθαι ἡμῶν πάντοτε, τῶν ἐλπιζόντων αὐτῆς τῇ χάριτι.

**Καὶ νῦν. Θεοτοκίον.**

**Μακαρίζομέν Σε Θεοτόκε Παρθένε . . . Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.**

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ κανόνος τῆς Ὁσίας ἡ γ΄. καὶ στ΄. Ὠδή.**

**Ἀπόστολον τῆς κζ΄ Κυριακῆς, Εὐαγγέλιον δέ, τῶν Δέκα Παρθένων, ὅπερ ζήτει τῷ δεκάτῳ ἑβδόμῳ Σαββάτῳ τοῦ Ματθαίου.**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον. Μεγαλυνάριον.**

Χάριν Πελαγία εὗρες πολλήν, τῇ σῇ ἐναρέτῳ καὶ Ἁγίᾳ Μῆτερ ζωῇ τῆς Ἁγνῆς Παρθένου, διάκονος φανεῖσαι ἧ πρέσβευε Ὁσία ὑπὲρ τῆς ποίμνης σου.

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ ΜΗΤΕΡΑ ΗΜΩΝ

## ΠΕΛΑΓΙΑΝ

## ΤΗΝ ΕΝ ΙΕΡΑ ΜΟΝΗ ΚΕΧΡΟΒΟΥΝΙΟΥ ΑΣΚΗΣΑΣΑΝ

**ΠΟΙΗΜΑ ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ**

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος ὡς συνήθως καὶ τὸ ἑξῆς.

**Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Ὡς τῶν Ἁγίων ταῖς χορείαις συνοῦσα, ἀεὶ δυσώπει σὺν αὐτῆς Πελαγία, πάσης ἀνάγκης ρύσεσθαι δεόμεθα, πάντας τοὺς προστρέχοντας, τῇ σεπτῇ σου πρεσβείᾳ ἐξαιρέτως ταύτην δέ, τὴν Μονὴν Σου Ὁσία, ἐκ δεινῶν σκανδάλων τοῦ ἐχθροῦ, καὶ ἐν ἀγάπῃ στερρᾷ πολιτεύεσθαι.

**Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τὶς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τὶς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους, Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

**Ο Ν. Ψαλμὸς καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς. «Δίδου ἡμῖν σὴν ἀρωγὴν Μῆτερ. Γερασίμου». Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.**

Δυσώπει ἀπαύστως ὑπὲρ ἡμῶν, Μῆτερ Πελαγία, τὸν τῶν ὅλων Δημιουργόν, λυτροῦσθαι ἡμᾶς πάσης ἀνάγκης, καὶ τῶν ποικίλων σκανδάλων τοῦ ὄφεως.

Ἰάσεις ἡ Κάρα σου ἡ σεπτή, ψυχῶν καὶ σωμάτων, ἀναβλύζει θείᾳ ροπῇ καὶ νέμει ἑκάστῳ αἰτουμένῳ ἰσχὺν Ὁσία καὶ ρῶσιν καὶ ἔλεος.

www.tezaurliturgic.ro



Δολίως ἐπέρχεται καθ' ἡμῶν, ὁ δόλιος ὄφις, τοῦ συλῆσαι ἡμᾶς ζητῶν, ἀλλὰ τῇ Σῇ χάριτι Ὁσία, τούτου τὸ θράσος εἰς τέλος κατάβαλλε.

**Θεοτοκίον.**

Ὁλόφωτος ὤφθης Μῆτερ Ἁγνή, τῇ Σῇ θεραπαίνῃ, Πελαγίᾳ τῇ θαυμαστῇ καὶ ταύτῃ ἀνήγγειλας Παρθένε, τῆς πρὸς ἡμᾶς σου εὐνοίας τὴν ἔκφανσιν.

**Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.**

Ὑπ' αὐτῆς τῆς Παρθένου, ὡς ἀρετῶν σκήνωμα, εἰς διακονίαν Ἁγίαν, ὡς προεκλέλεξαι, αὐτὴν ἱκέτευε, ὑπὲρ τῆς νήσου ταύτης, Πελαγία πάντιμε, τῆς εὐφημούσης σε.

Ἡ Ἁγία σου Κάρα, ἁγιασμοῦ χάριτας, Πνεύματι Ἁγίῳ πηγάζει, καθαγιάζουσα, Μῆτερ θεόληπτε, Μοναζουσῶν τὰς χορείας, προσιούσας πάντοτε, ταύτῃ ἐκ πίστεως.

Μνείαν πάντοτε ποίει, πρὸς τὸν Χριστὸν πάνσεμνε, ταύτης τῆς ἁγίας Μονῆς σου, ἐν ᾗ ἠγώνισαι, ἀνεπηρέαστον, ἐπηρειῶν τοῦ Βελίαρ, ταύτην διασώζεσθαι, ὑμνολογοῦσαν Σε.

**Θεοτοκίον.**

Ἱλασμὸν καὶ εἰρήνην, καὶ τῶν παθῶν ἴασιν, δίδου ἡμῖν πάντοτε Κόρη, καὶ φῶς οὐράνιον, ἐν τῇ καρδίᾳ Ἁγνή, τῆς Σῆς σεμνῆς Πελαγίας, καμπτομένη Δέσποινα, ταῖς παρακλήσεσι.

Διάσωσον ὦ Πελαγία Ὁσία πάσης ἀνάγκης, τοὺς ἐκ πόθου τῇ Σῇ πρεσβείᾳ προστρέχοντας, ὑπὲρ ἡμῶν ἱκετεύουσα Τὸν Σωτῆρα.

**Ἐπίβλεψον ἐν εὐμενείᾳ . . .**

**Αἴτησις καὶ τὸ Κάθισμα.**

**Ἦχος β'. Πρεσβεία θερμή.**

Πρεσβεύειν Χριστῷ, Ὁσία τῷ νυμφίῳ σου, μὴ παύσῃ ἀεί, ὑπὲρ ἡμῶν δεόμεθα, ὡς ἂν δεινῶν στενώσεων, καὶ παθῶν καὶ κινδύνων ρυώμεθα, καὶ χαλεπῶν τοῦ ἐχθροῦ προσβολῶν, καὶ βίον ἡσύχιον διάγωμεν.

**Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.**

Νόμῳ θείῳ ἐνίσχυσον, ἡμᾶς ἐν χρηστότητι πολιτεύεσθαι, ταῖς πρὸς Κύριον πρεσβείαις Σου, Μῆτερ Πελαγία ἀεισέβαστε.

Σοφιστείας τοῦ ὄφεως, ἃς ἐπινοεῖται καθ' ἡμῶν πάντοτε, τῇ Σῇ χάριτι διάλυσον, καὶ ἐν ὁμονοίᾳ ἡμᾶς φύλαττε.

Ἡ τὴν μόνην Πανάχραντον, Μῆτερ κατιδοῦσα μυστα γωγοῦσαν

www.tezaurliturgic.ro



Σε, Πελαγία ταύτη πρέσβευε, ὑπὲρ τῆςΜονῆς σου καὶ τῆς νήσου σου.

**Θεοτοκίον.**

Νήσου Τήνου Πανύμνητε, ἐξαιρέτῳ τρόπῳ προστάτις πέφηνας, ὅθεν ταύτην ἀεὶ φύλαττε, πίστει προσκυνοῦσαν τὴν Εἰκόνα σου.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

Ἅγιον σεμνή, Πελαγία βίον ἔζησας, διὰ τοῦτο καθαγίασον ἡμῶν, τὰς καρδίας τῇ ἁγίᾳ ἀντιλήψει σου.

Ρώμην καὶ ἰσχύν, Πελαγία δίδου πάντοτε, Μοναζούσαις ταῖς τιμώσαις Σε πιστῶς, τοῦ πατεῖν τὰς ἐπινοίας τοῦ ἀλάστορος.

Ὤφθη σοι λαμπρῶς, τῶν ἀγγέλων ἡ βασίλισσα, ἣν ἱκέτευε Ὁσία ἐκτενῶς, ὑπὲρ ταύτης τῆς Μονῆς τῆς τιμώσης Σε.

**Θεοτοκίον.**

Γέγονεν ἡμῖν, ἡ ἁγία Σου ἐμφάνεια, τῇ Ὁσίᾳ Πελαγίᾳ Μαριάμ, ἀνεξάντλητος πηγὴ τῆς εὐλογίας Σου.

**Ὠδὴ στ.΄ Τὴν δέησιν.**

Ἡγίασεν, ὁ Χριστός σε Ὁσία, προσδεχθείς σου τὴν σεμνὴν Πολιτείαν, ὃν ἐκδυσώπει ἀεὶ Πελαγία, ἐξ ἐναγῶν με προλήψεων ρύεσθαι , καὶ πολιτεύεσθαι πιστῶς, ἐν ἀγάπῃ καὶ πάσῃ σεμνότητι.

Ναμάτων, τῶν μυστικῶν ἐπληρώθης, τῆς τοῦ Πνεύματος σεμνὴ ἐπομβρίας, ὡς ἐθεάσω τὴν Πάναγνον Κόρην ἐξ ὧν μετάδος ρανίδα σωτήριον, τοῖς Σὲ τιμῶσιν εὐλαβῶς, Πελαγία Τηνίων ἀγλάϊσμα.

Μονήν σου, τὴν ἱερὰν Πελαγία, ἐν ᾗ ἤνυσας τὸν θεῖον ἀγῶνα, τὴν κεκτημένην ὡς ἔνθεον δῶρον, τὴν πανευώδη Σου Κάραν θεόληπτε, διάσωζε ἐκ πειρασμῶν, τῇ θερμῇ Σου πρεσβείᾳ πρὸς Κύριον.

**Θεοτοκίον.**

Ἡνίκα, τῇ Πελαγίᾳ ἐφάνης, Παναγία Θεοτόκε Μαρία, τὴν πρὸς ἡμᾶς μητρικήν Σου ἀγάπην, ταύτῃ σαφῶς ἀπεκάλυψας Δέσποινα, ἧς τοὺς πλουσίους οἰκτιρμούς, καθ' ἑκάστην ἡμέραν καρπούμεθα.

Διάσωσον ὦ Πελαγία πάσης ἀνάγκης, τοὺς ἐκ πόθου τῇ σῇ πρεσβείᾳ προστρέχοντας, ὑπὲρ ἡμῶν ἱκετεύουσα τὸν Σωτῆρα.

Ἄχραντε ἡ διὰ λόγου . . .

**Αἴτησις καὶ τὸ Κοντάκιον.**

**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Ταῖς πρὸς Χριστὸν Πελαγία πρεσβείαις Σου, πάσης ἀνάγκης ἐν βίῳ καὶ θλίψεως, ταύτην τὴν Μάνδραν Σου ἄτρωτον φύλαττε, Μοναζουσῶν τὰς χορείας ἰθύνουσα, πρὸς κτῆσιν Ὁσία τοῦ κρείττονος.

www.tezaurliturgic.ro



**Προκείμενον.**

**Ὑπομένων ὑπέμεινα Τὸν Κύριον καὶ προσέσχε μοι.**

**Στίχ. Καὶ ἔστησεν ἐπὶ Πέτραν τοὺς πόδας μου.**

**Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.**

Εἶπεν ὁ Κύριος, Γρηγορεῖτε, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται. Ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται ἐγρηγόρησεν ἄν, καὶ οὐκ εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ. Διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθαι ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ Κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ; Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ Κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.

**Δόξα. Ταῖς τῆς σῆς Ὁσίας....**

**Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου...**

**Στίχ. Ἐλέησόν με Ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου. Προσόμοιον.**

**Ἦχος πλ. β. Ὅλην ἀποθέμενοι.**

Βίου καθαρότητι, κεκοσμημένη Ὁσία, ἠξιώθης βλέψασθαι, τὴν μόνην Πανάχραντον Θεομήτορα, ἧς τανῦν βλέπουσα ἐν τῇ ἄνω δόξῃ, τὴν ἀνέκφραστον λαμπρότητα, αὐτὴν ἱκέτευε, δίδοσθαι χειρὶ πλουτοδότιδι, αὐτῆς τὸ θεῖον ἔλεος, καὶ τὰς διαδόσεις τῆς χάριτος, ταύτῃ τῇ Μονῇ σου, καὶ Τήνῳ τῇ πατρίδι σου σεμνή, καὶ πᾶσι Μῆτερ τοῖς σπεύδουσι, ταύτης τῇ χρηστότητι.

**Σῶσον ὁ Θεὸς τὸν λαόν σου... Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Τῆς Ἁγνῆς Θεοτόκου, ὡς θεράπαιναν θείαν ὑμνολογοῦμεν σε, αὐτῇ γὰρ Πελαγία, καὶ νῦν καθάπερ πάλαι, οἰκειοῖς τοὺς κραυγάζοντας, ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητός εἶ.

Ἐντολῶν τοῦ Κυρίου, τὴν ὁδὸν τὴν εὐθεῖαν Μῆτερ ἐβάδισας, πρὸς ταύτην οὖν Ὁσία, καλῶς τὰς Μοναζούσας, καθοδήγει ἑκάστοτε, τοῦ ἀποκλίνειν ἀεί, τὰς ἀτραποὺς τῆς πλάνης.

Ρῶσιν δίδου Ὁσία, καὶ παθῶν θεραπείαν ἡμῖν δεόμεθα, τοῖς πίστει προσιοῦσι, τῇ κάρᾳ σου τῇ θείᾳ, τῇ πνεούσῃ ἐν Πνεύματι, ὀσμὴν ζωῆς μυστικῆς, καὶ θείαν εὐωδίαν.

www.tezaurliturgic.ro



**Θεοτοκίον.**

Γνώμην ἔχουσα θείαν, καὶ λαμπρότητα βίου Παρθένε Ἄχραντε, ἡ θεία Πελαγία, τῆς σῆς κατηξιώθη, ἐμφανείας καὶ χάριτος, ἧς ταῖς πρεσβείαις Ἁγνή, τὴν Σὴν Μονὴν φυλάττεις.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Εὗρες Ὁσία, τὴν ἀληθῆ εὐκληρίαν, τῆς Θεόπαιδος αὔλῳ ἐπισκέψει, ἧς καὶ ἡμᾶς Μῆτερ, ἀνάδειξον μετόχους.

Ρεόντων Μῆτερ, ὡς ἐκφυγοῦσα τὸν σάλον, πρὸς ἀχείμαστον κυβέρνησον λιμένα, ἄνωθεν Ὁσία, Μοναζουσῶν χορείαν.

Ἀκατακρίτως, καὶ ἐν ἀγάπῃ ἀνύειν, καταξίωσον τὸν βίον Πελαγία, τὰς ἐνασκουμένας, ἐν τῇ σεπτῇ Μονῇ σου.

**Θεοτοκίον.**

Σκέπη Παρθένε, καὶ ἀσφαλὴς προστασία, ἔσο πάντοτε Μονῇ Κεχροβουνίου, καὶ τῇ νήσῳ Τήνῳ, ὑμνούσῃ σου τὴν δόξαν.

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**

Ἰδεῖν ὡς ἠξιώθης, τὴν Ἁγνὴν Παρθένον, ταύτης τὴν ἄρρητον δόξαν θεάσασθαι, Μῆτερ Ὁσία ἀξίωσον τοὺς τιμῶντάς σε.

Μονὴ Κεχροβουνίου, καὶ ἡ νῆσος Τῆνος, τῇ σῇ καυχῶνται Ὁσία λαμπρότητι, αἷς δίδου πάντοτε Μῆτερ χάριν θεόσδοτον.

Ὀσμὴν ἁγίαν Μῆτερ, πνέει Σου ἡ Κάρα, καὶ κατευφραίνει ἡμῶν τὴν διάνοιαν, Μοναστριῶν τὰς χορείας καθαγιάζουσα.

**Θεοτοκίον.**

Ὑμνοῦμέν σου τὴν χάριν, Κεχαριτωμένη, ὅτι προστάτις καὶ σκέπη καὶ ἔφορος, ἡμῶν ἐδόθης τῶν πίστει μεγαλυνόντων σε.

**Τὸ Ἄξιόν ἐστι καὶ τὰ μεγαλυνάρια.**

Τὸν Χριστὸν ποθήσασα ἐκ ψυχῆς, τούτῳ Πελαγία, ἠκολούθησας ἀκλινῶς, ἀρετῶν ὁσίων, τῇ καθαρᾷ ἀσκήσει, διὸ τῆς τῶν Ἁγίων, δόξης ἠξίωσαι.

Τήνου θεῖος βλαστός, καὶ τῆς Θεοτόκου ἡ θεράπαινα ἡ πιστή, χαίροις Πελαγία, Ὁσία πανολβία, Μονῆς Κεχροβουνίου, θεῖον ἀγλάϊσμα.

Ἀρετῶν ἐκλάμπουσα τῷ φωτί, τὴν Ἁγνὴν Παρθένον, κατηξίωσαι κατιδεῖν, καὶ τοῖς ἐν τῇ πόλει, ἐξήγγειλας Ὁσία, αὐτῆς τὴν εὐδοκίαν, τὴν πλουσιόδωρον.

www.tezaurliturgic.ro



Μύστις ἀνεδείχθης θεοειδής, τῆς Ἁγνῆς Παρθένου, καὶ ἐμύησας τοὺς σοὺς πιστούς, τοὺς ἐν νήσῳ Τήνῳ, αὐτῆς τὴν θείαν χάριν, Ὁσία Πελαγία, Ἁγίων σύμμορφε.

Χάριτος ἐπλήσθησαν ἀληθῶς, κατὰ τοὺς σοὺς λόγους, ὅτε εὗρον ὑπὸ τὴν γῆν, τὴν σεπτὴν Εἰκόνα, τῆς Θεοτόκου Μῆτερ, οἱ εὐσεβεῖς ἐν Τήνῳ, Χριστὸν δοξάζοντες.

Τὴν Κεχροβουνίου Μῆτερ Μονήν, σκέπε Πελαγία, ἀπὸ πάσης ἐπιβουλῆς, πρὸς σὲ γὰρ Ὁσία, μετὰ τὴν Θεοτόκον, προστρέχει καυχωμένη τῇ θείᾳ Κάρᾳ σου.

Πᾶσαι τῶν Ἀγγέλων... Τὸ τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὰ ἑξῆς.

**Ἦχος β'. ὅτε ἐκ τοῦ ξύλου.**

Μῆτερ Πελαγία θαυμαστή, σκεῦος ἀρετῶν ἰσαγγέλων, θεραπαινὶς ἐκλεκτή, τῆς Ἁγνῆς Θεόπαιδος καὶ Θεομήτορος, πρὸς αὐτὴν ἀεὶ πρέσβευε, ὑπὲρ τῆς Μονῆς σου, καὶ τῆς βλαστησάσης σε, νήσου ἑκάστοτε, ἵνα τῆς αὐτῆς προστασίας, πάντοτε ἡμῖν καὶ ἐν πᾶσι, χορηγῇ τὴν χάριν τὴν σωτήριον.

Τὴν πᾶσαν ἐλπίδα μου. Δέσποινα πρόσδεξαι...

**Δίστιχον. Δέησιν ἐμὴν ὦ Πελαγία δέξαι.**
**Ταύτην γὰρ Γεράσιμος πίστει σοι ᾖσε.**